9 Ἐνεπάγησαν εἰς γῆν πύλαι αὐτῆς, ἀπώλεσεν καὶ συνέτριψεν μοχλοὺς αὐτῆς·
βασιλέα αὐτῆς καὶ ἄρχοντας αὐτῆς ἐν τοῖς ἔθνεσιν·
οὐκ ἔστιν νόμος, καί γε προφῆται αὐτῆς οὐκ εἶδον ὅρασιν παρὰ κυρίου.
10 Ἐκάθισαν εἰς τὴν γῆν, ἐσιώπησαν πρεσβύτεροι θυγατρὸς Σιων,
ἀνεβίβασαν χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, περιεζώσαντο σάκκους,
κατήγαγον εἰς γῆν ἀρχηγοὺς παρθένους ἐν Ιερουσαλημ.
11 Ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου, ἐταράχθη ἡ καρδία μου,
ἐξεχύθη εἰς γῆν ἡ δόξα μου ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου
ἐν τῷ ἐκλιπεῖν νήπιον καὶ θηλάζοντα ἐν πλατείαις πόλεως.
12 Ταῖς μητράσιν αὐτῶν εἶπαν Ποῦ σῖτος καὶ οἶνος;
ἐν τῷ ἐκλύεσθαι αὐτοὺς ὡς τραυματίας ἐν πλατείαις πόλεως,
ἐν τῷ ἐκχεῖσθαι ψυχὰς αὐτῶν εἰς κόλπον μητέρων αὐτῶν.
13 Τί μαρτυρήσω σοι ἢ τί ὁμοιώσω σοι, θύγατερ Ιερουσαλημ;
τίς σώσει σε καὶ παρακαλέσει σε, παρθένος θύγατερ Σιων;
ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου· τίς ἰάσεταί σε;
14 Προφῆταί σου εἴδοσάν σοι μάταια καὶ ἀφροσύνην
καὶ οὐκ ἀπεκάλυψαν ἐπὶ τὴν ἀδικίαν σου τοῦ ἐπιστρέψαι αἰχμαλωσίαν σου
καὶ εἴδοσάν σοι λήμματα μάταια καὶ ἐξώσματα.
15 Ἐκρότησαν ἐπὶ σὲ χεῖρας πάντες οἱ παραπορευόμενοι ὁδόν,
ἐσύρισαν καὶ ἐκίνησαν τὴν κεφαλὴν αὐτῶν ἐπὶ τὴν θυγατέρα Ιερουσαλημ
Ἡ αὕτη ἡ πόλις, ἣν ἐροῦσιν Στέφανος δόξης, εὐφροσύνη πάσης τῆς γῆς;
16 Διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ ἐχθροί σου,
ἐσύρισαν καὶ ἔβρυξαν ὀδόντας, εἶπαν Κατεπίομεν αὐτήν,
πλὴν αὕτη ἡ ἡμέρα, ἣν προσεδοκῶμεν, εὕρομεν αὐτήν, εἴδομεν.
17 Ἐποίησεν κύριος ἃ ἐνεθυμήθη, συνετέλεσεν ῥήματα αὐτοῦ,
ἃ ἐνετείλατο ἐξ ἡμερῶν ἀρχαίων, καθεῖλεν καὶ οὐκ ἐφείσατο,
καὶ ηὔφρανεν ἐπὶ σὲ ἐχθρόν, ὕψωσεν κέρας θλίβοντός σε.
18 Ἐβόησεν καρδία αὐτῶν πρὸς κύριον
Τείχη Σιων, καταγάγετε ὡς χειμάρρους δάκρυα ἡμέρας καὶ νυκτός·

$9^1$ εις την γην αι πυλαι A ‖ $10^2$ επι] εις S† | $10^3$ γην] pr. την A | εν > S* ‖ $11^1$ εξελειπον BSA | $11^2$ γην] pr. την B | του > B† ‖ $13^2$ σε $1^0$ > B† | θυγατρος S† | $13^3$ σε > S*† ‖ $14^2$ αιχμαλ.] pr. την S† ‖ $15^3$ η $1^0$ A†] > S†, dub. B†, ει rel. | ην > BS | δοξης > B*† | ευφροσυνη] -νης BAS^c ‖ $16^1$ σου > S† | $16^2$ ειπαν] pr. και BA | καταπιω(uel ο)μεν SB^c | $16^3$ η > S ‖ $17^2$ ενετειλ.] ενεθυμηθη A†: ex $17^1$; ενεθυ incepit etiam S† in fine lin., sed in sequenti lin. perrexit τ(ε)ιλατο | $17^3$ κερας] κεφαλας AC† ‖ $18^2$ σ(ε)ιων] pr. θυγατρος S* = 𝔐 | καταγαγετε] -γαγετωσαν A†, -γαγετω mu.